p. 462e. μὴ ἀγροικότερον.

10 ὁ μὲν Καλλικλῆς ὡς ἀλογίαν πᾶσαν νοσῶν οὐκ ἐρυθριᾷ, ἀλλὰ παρόντος τοῦ Σωκράτους ὑβρίζει τὴν φιλοσοφίαν ὡς μαθησόμεθα· ὁ δὲ Σωκράτης ὡς θεῖος οὐχ οὕτως, ἀλλὰ διὰ τὸ φιλομαθὲς τοῦ Γοργίου φησίν, ὅτι ἀγροῖκόν ἐστι Γοργίου παρόντος διασύρειν τὴν ῥητορικήν· οὐ γὰρ οἶδα ποίαν πρεσβεύει καὶ οἰηθήσεταί με διακωμῳδεῖν τὸ ἑαυτοῦ ἐπιτήδευμα, ὥστε τί μὲν πρεσβεύει, οὐκ οἶδα· μορίου δέ ἐστιν ἡ ῥητορικὴ οὐδενὸς τῶν καλῶν. αἰσχρὰ γάρ ἐστι· τὸ γὰρ καλὸν πρὸς τοῦ ἀγαθοῦ καὶ τοῦ εἴδους· ἀμέλει καὶ τὰ ἀκαλλέστερα τῶν εἰδῶν, αἰσχρά φαμεν.

αἴσχιστος δ᾽ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν·

ἐπειδὴ παρήκαμεν ῥῆσιν ἐκθώμεθα αὐτήν.

p. 462c. τί δὴ ὦ Πῶλε; ἤδη πέπυσαι.

11 μήπω δεδειγμένου τί ἐστιν ῥητορική, ὁ Πῶλος ἐρωτᾷ τὸ ὁποῖον τί ἐστι· μέμφεται οὖν αὐτῷ, ὅτι ἄλλο ἐρωτᾷς τούτου μὴ δειχθέντος καὶ ἐντεῦθεν ἀναφαίνεται ἡ τάξις τῶν τεσσάρων προβλημάτων.

p. 462e. τίνος, ὦ Σώκρατες.

12 τίνος τῶν οὐ καλῶν ἐστιν· εἰπὲ ὦ Σώκρατες.

## XIII.

### *Πρᾶξις σὺν θεῷ ιγ΄.*

p. 463a. δοκεῖ τοίνυν μοι.

1 ἐνταῦθα τὸν καθολικὸν ὅρον τῆς ῥητορικῆς βούλεται ἀποδοῦναι ὁ Σωκράτης· εἶτα λαμβάνει δύο γένη τὸ μὲν προσεχές, τὸ δὲ πόρρω· ὥσπερ γὰρ τοῦ ἀνθρώπου δύο γένη εἰσίν, ἀλλὰ τὸ μὲν προσεχὲς ὡς τὸ ζῷον, τὸ δὲ πόρρω ὡς ἡ οὐσία, οὕτως καὶ ἐπὶ ῥητορικῆς· προσεχὲς μὲν λαμβάνει τὴν κολα-

---

12 *B* 216

---

5 mg. ad verb. ἀγροῖκον: νῦν προπερισπωμένως, ἀπαίδευτον προπαροξυτόνως δὲ ἐν ἀγροῖς διαιτώμενον

---

14 δή **M**, cod. Plat. **F** δέ codd. Plat. **BTP**

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/76 UNIVERSITÄT LEIPZIG